κοὐκ ἂν προδοῦναί μ᾽. ἀλλὰ μήτε μοι χοὰς
μήθ᾽ αἷμ᾽ ἐάσῃς εἰς ἐμὸν στάξαι τάφον.
κακὸν γὰρ αὐτοῖς νόστον ἀντὶ τῶνδ᾽ ἐγὼ
δώσω· διπλοῦν δὲ κέρδος ἕξετ᾽ ἐξ ἐμοῦ,
ὑμᾶς τ᾽ ὀνήσω τούσδε τε βλάψω θανών.
ΑΛ. τί δῆτα μέλλετ᾽, εἰ πόλει σωτηρίαν
κατεργάσασθαι τοῖσί τ᾽ ἐξ ὑμῶν χρεών,
κτείνειν τὸν ἄνδρα τόνδ᾽, ἀκούοντες τάδε;
δείκνυσι γὰρ κέλευθον ἀσφαλεστάτην.
ἐχθρὸς μὲν ἁνὴρ, ὠφελεῖ δὲ κατθανών.
κομίζετ᾽ αὐτὸν, δμῶες, εἶτα χρὴ κυσὶ
δοῦναι κτανόντας· μὴ γὰρ ἐλπίσῃς ὅπως
αὖθις πατρῴας ζῶν ἔμ᾽ ἐκβαλεῖς χθονός.
ΧΟ. ταῦτα δοκεῖ μοι. στείχετ᾽, ὀπαδοί.
τὰ γὰρ ἐξ ἡμῶν
καθαρῶς ἔσται βασιλεῦσιν.